Ὅπως βλέπουμε λοιπὸν οἱ Μονωδίες μας οὔτε σὰν ἱστορικὰ κείμενα ἔχουν ἀξία, γιατὶ δὲν προσφέρουν τίποτε γιὰ τὴν τελευταία ἅλωση τῆς Θεσσαλονίκης, μὰ οὔτε καὶ σὰν λογοτεχνικά, μ' ὅλη τὴν παράλληλη πρόθεση τῶν συνθετῶν τους. Σὰν κείμενα φιλολογικὰ ὡστόσο ἔχουν τὴν ἀξία τους καὶ χωρὶς ἄλλο ὁ ἱστορικὸς τοῦ μέλλοντος, ποὺ θὰ θελήση ν' ἀσχοληθῆ μὲ τὴν πνευματικὴ κατάσταση τοῦ Γένους μας τὴν ἐποχὴ αὐτή, θὰ χρειαστῆ νὰ τὶς προσέξη καὶ νὰ τὶς μελετήση.

Γι' αὐτὸ καὶ θὰ κλείσω τὸ συμπέρασμα μὲ μιὰ πολὺ σοφὴ παρατήρηση τοῦ καθηγητῆ Γιάννη Κακριδῆ γιὰ τὸ βυζαντινὸ καὶ τὸ μεταβυζαντινὸ ἐπίγραμμα. Μονάχα ποὺ θάθελα νὰ προσθέσω πὼς τὴν παρατήρηση αὐτὴ πρέπει νὰ τὴ γενικέψουμε καὶ νὰ τὴν κάμωμε αἴτημα γιὰ ὅλα τὰ βυζαντινὰ ἢ τὰ μεταβυζαντινὰ κείμενα, ἔμμετρα καὶ πεζά, ὅσο κι ἂν οἱ συγγραφεῖς καὶ οἱ λόγιοι τῆς ἐποχῆς συχνὰ ἀντιγράφουν ὁ ἕνας τὸν ἄλλο. Γιατὶ ὁ καθένας τους, κι ἀντιγράφοντας ἀκόμα, πάντα προσφέρει κάτι δικό του. «Ἡ δημοσίευσή τους», παρατηρεῖ λοιπὸν ὁ καθηγητὴς Κακριδής, «ἐνδιαφέρει τὴν ἱστορία τῶν Ἑλληνικῶν γραμμάτων, γιατὶ μᾶς δίνει τὴ δυνατότητα νὰ ἐκτιμήσουμε τὸ βαθμὸ τῆς παιδείας τῶν λογίων τῆς βυζαντινῆς ἐποχῆς καὶ τῆς τουρκοκρατίας, ἀκόμα ν' ἀνιχνεύσουμε τὶς πηγὲς καὶ γενικὰ τὰ ἀναγνώσματά τους»[2].

II. ΟΙ ΜΟΝΩΔΙΕΣ[3]

Α'. ΑΝΩΝΥΜΟΥ
ΜΟΝΩΔΙΑ ΕΙΣ ΤΗΝ ΘΕΣΣΑΛΟΝΙΚΗΝ

Ὦ πόποι, ἦ θαῦμα μέγα οἷς ὀφθαλμοῖσιν ὁρῶμαι
ἄστυ γ' ἐκ τῶν παντὸς αἰῶνος γιγνομενάων

1. Ἀναγνώστης, σ. ιζ'-ιη'.
2. Ι. Θ. Κακριδής, Ποικίλα Ἑλληνικά, «Ἑλληνικά», 20 (1967), σ. 151, ἀριθ. 18,
3. Τὰ κείμενα κατὰ τὴν ἔκδοση τοῦ Σπ. Π. Λάμπρου, «Νέος Ἑλληνομνήμων», 5 (1908), σ.382-390.

οἷόν τ᾽ ἤδη γ᾽ Εὐρώπης τε μέγ᾽ Ἀσιάτιδος
γαίης κάρτα πελώριον οὔθ᾽ ἕτερον τοιόνδε·
οὐ μὴν αὖθις δ᾽ ἔσσεται ἀγλαὸν οἷον κάλλος 5
μεσσηγὺς ἠπείρου τ᾽ ἀμφιτρίτης ἁλός·
χωρὶς τὴν πρώτην μετέπειτ᾽ αὖθις Ῥώμην τε
οὔ τι δραμάτων τε τραγικῶν τε θ᾽ Ὁμήρου
γλῶττ᾽ ἐξαρκείη πρὸς τοίαν πηγαίαν τε,
ῥείθροις γὰρ εἰκυῖαν, Ὠκεανοῖο δακρύων. 10
Ἄστυ Φιλίππου οὔκουν γ᾽ ὑπέστη πάρος
θᾶτερον ἴσην τε πτῶσιν· ἑάλω γάρ τοι πάνυ
ἄγαλμα θ᾽ ἑσταὸς πάντοσ᾽ ἐνιδρυμένον γε
οὐ μετρίοις ὥραις σφι δ᾽ αὖτ᾽ ἀγλαΐαις·
αὐτὰρ ἔξωθεν πηγαὶ Νυμφάων εἴσω 15
χωρέουσι πανταχόσε· τῇ δὲ κλύζουσί περ
ὑψηλαῖς δὴ νάουσ᾽ ὀρέων κάρησιν αὗται,
πόρρωθεν δ᾽ αἵης μεσσηγύς τοι πέτροισι
λιθοτόμων γὰρ ἤδη, οὔτι μικρὸν τ᾽ ἔργον·
τέχνην αὐτὰρ ἀποκρύπτων χωρὶς πηγάων 20
πᾶσαν ναμάτων τῇδ᾽ ἐκβλυζόντων πάντη
νεκταρῶδες μὴν ἥδιστον κάλλιστόν τε.
Ὄφρα γοῦν ἀνωτάτω δυνάμεις ἦσαν,
ἀριστεὺς δ᾽ ὅ γε θεῖος μύστης φρουρὸς ταύτῃ,
τόφρα πτολίεθρον ἄρρηκτον ἠδ᾽ εἱστήκει 25
πρὶν μηδαμῶς πάνδεινον τοῖον κινηθείη·
οἷον δ᾽ ἄρα γε ἀποίσει τὴν πτῶσιν ρεῖα.
Οὗτοι μὴν δεδικυῖα πάρος δ᾽ ὑπὲρ αὐτῆς ἔσχε
φ. 3β πάνθ᾽ ὑψηλὴν καρτερὰν ἐοῦσαν αὐτοῦ χεῖρα·
πρόσθεν μέντοι γε σμῆνος βαρβάρων ἤδη 30
οὔ τι μέτριον ταύτῃ συρρεῦσαν ἥλω
εἶπε κέ τις δ᾽ αὖ τηνικαῦτα· Ὦ πόποι τί δε,
οὐ πλήθη μερόπων τ᾽ ἐχθαίρῃ ἀμπλακιῶν·
ταύτῃ τοι θεῖον δ᾽ ἄρ᾽ ἡμέας λιπὼν γ᾽ ὄντως;
τηνικάδ᾽ ἦν ἐλπέειν κείνων τε κλῆσιν αὖθις· 35
ἑαλωκυῖά περ ἥδ᾽ ἐοῦσα πάγχυ κατὰ κράτος
νῦν ἥκιστ᾽ ἄρα τοιόν γε δίδωσιν ἔλπειν.
Πεπλήρωκε γὰρ αὐτὴ ἀμφ᾽ αὐτὴν ὀφίων τε,
ἔθνεα δ᾽ οὔ τι φορητὰ μακάρεσσιν ἤδη
ἡρώων δὴ δώματ᾽ Ὀλυμπίοι᾽ ἐχόντων ταυτί· 40
τοῖσι μὲν γὰρ αἰεὶ διεχθαίρουσι γνώμῃ.
Τίς μὴ λίθος γ᾽ εἴη ὁράαν οὐ θρηνήσει

τοῖά γε γιγνόμενα ἐνὶ ἄστει οἷόν τ' οὐδὲν
θάτερον ὡς ἔναγχος διηλέχθην αὐτοῦ γε·
ἤτοι μὲν ὅδ' ἀπαχθεὶς οἰκιστῶν πόρρω που 45
ὥσπερ ἐν λαβυρίνθῳ ἔξοδον ἀπείργονται
οἵδ' οἱ προώλεις πανώλεις τέ γε, ὁποῖοι ἄλων
τόξῳ καὶ δόρυ ληφθέντες δ' ἄρ' ἐν ἀλλοδαπῇ·
θάτεροι δ' ἔργον ἁλός τ' ἀμφιτρίτης ἥκιστα
καθεκτόν περ ταύτῃ τοι κακοῦντες κόλπῳ, 50
ὥστ' ἔργον σφίσι τόδε νύκτωρ ἠδ' ἤματι·
ἄλλος δ' αὖ κώνιον πῶρε θυμὸν ἐξεῖλε.
Ὡς δ' ὅτε τις λέων ἠὲ σκύμνων κάρτος οὔ τι
μέτριον ἀνυπόστατον ἔχων γούνατ' ἄρ' ῥεῖα
ποιμνίοιό γ' ὑπερπηδήσας εἴσω ὅιοις 55
τείχεά τοι οὔπω γε παρεόντων ποιμενικῶν τε
τὰ μέντοι δηιὼν ἠὲ θάτερα θείη κύκλῳ
φ. 4α οἷοι σταθμοῖσιν ἔστιν ἅ δὴ κεραΐζων
ἠδὲ γ' ἐπωμάδιον ἀείρων ὑψοῦ κάρη
κυδιόων τε φέρων παλινοστήσας ἀπέδρα· 60
σκύλακες μέντοι θείουσί τε τάχεϊ πολλῷ
κατόπι, τῷ δ' οὔπω ἔσχ' ὑποτρέσσαι οὔτε
μὴν ἀναδῦναι· ὥς οἵδ' ἔθνεα μέγα κάρτα
θνητῶν τῇδ' ἀναίδην καίτοι σφέας αὐτούς γε
οὔτι μὲν βίῃ τ' ἄστυ γ' ἑκόντι σφίσι δόντες. 65
Ὦ μοι κάλλος ἀμίμητον χρῆμά τοι θεῖον
οἷ' ἄττα ῥέεθρα εὐρεῖος δ' αὖ ποταμεῖο
στηλῶν εἴσω γ' Ἡρακλέους τυγχάνει πάντα,
ἠδὲ περικλείει μὴν εἶδός τ' ἄψογον ἤδη
καὶ μὴ τοιάδε φάος μέντοι ἠελίοιο 70
ἀνίσχων Ἠοῖ λιπὼν αὐτὰρ κύτος ἁλός·
θείη γὰρ ὕπερ ἡμέας κάρησιν Ὀλύμποιο·
παιδιὰ μέντοι σικελικὸν πάθος Ἀθήνησι
καίπερ· ὥς πάντη στρατὸς τοῖος διαφθαρείη.
Οὔ τις ὁρόων τοιάδε δύναιτ' ἂν ὀφέλλειν κεῖνα· 75
οὐ μὴν Ὀρφέως γ' ἡ λύρα τραγῳδείη ταυτί·
μήτε Θάμυρις δ' ἄρ' ἐξαρκείη πένθους γε.
Παιδιὰ νύ τις ἐνὶ στρατῷ Θηβαίων ἄρδην
ἐκτριβέντων, καίπερ ἐόντων ἀριστήων·
πυλάων μέντ' ἀσφαλεῖ πέρι ἐμβεβαῶτες 80
κάρτος τ' ἐθνέων ἀπείρων ἔξωθεν δ' ἵνα
χάρακά τε φερόντων ἀγχί που τείχε' ἱστᾶσιν·

δεῖμος δ' ἄρ' ἐνὶ στήθεσιν ᾕρει τοὺς τ' ἐόντας γε
εἴσω πτυχῶν τε πτολίεθρον πραπίδεσσι.
Μηχανή τις αὐτὰρ οὔτ' ἔην μάχης τοίας· 85
φ. 4β κείνων μὲν γὰρ οὐδαμῶς τροφέων ἀπορούντων
οἳ δέ γε πώμαλ' ὁμοίως ἀτὰρ ἔσχον, τάων
ἐντός γε ᾧκουν, οὕνεκα βῆ δ' ἰέναι συμμάχους
κτεάνων σφίσι μεγάρων πάντ' ἄπιστον ἔθνος
θυμέων αἰεὶ μεμαώτων τριήρεσσι βίῃ 90
θεοῖο γε δόξαν μακάρων αἰειγενετάων
ἔμπης ἀνάγκη πεῖσαι δ' ἄκων ὀτρῦναι,
στείλασθαι λογάδας τε σφῶν ἐν εὐβίᾳ πόλει.
Οὐκ ἦν δ' ἄρα γε ὥστ' ἀναβάλλεσθαι τὸ δρᾶμα.
Κοίρανος ταύτῃ χροῖ δ' ὄρχαμος πρῶτός γε 95
ἄριστος βουληφόρος ἐνὶ σκηπτούχοις πᾶσι
διελέλυτ' ἄρ' οὐκ ἔσκεν, μήτ' αὖθις ὄρπηξ
κασίγνητος Ρωμαίων σκῆπτρα κρατοῦντος·
τὸν θ' ὥρα κάλλει κ' ἰσχύι ἀνὴρ δαήμων
κρείττοσι, δόξαν ὥς, ἀπιέν' αὐτὰρ φρουρέειν ἅμα 100
ἠδὲ καὶ διοικεῖν πολίων ἀρίστην τήνδε.
Εἴθε κε μὴν τοῦργον μετὰ πείρας εἰληλούθει·
ἄρτι δ' εἱστήκει πτολίεθρον ἀρραγὲς πάνυ·
δαίμων δ' ἄρα τις βασκήνας τοῦτό γε ῥίψας·
νόον μέντοι γε παρέοντ' οὔτι ἔσχον γ' ὡς ἐχρῆν· 105
ἀβελτηρία τε βίοιο παραιρεῖτ' αὖθις·
ἡμεδαπῶν δ' ἄρα μερόπων αὐτοῦ φυέντων
δίκη θ' ὑπερορία νήσων ἠδὲ ἠπείρων.
Ἄπολις οὖν φερέοικος πάτρης οἰκείας τε.
Πάρος μέντοι Φιλίπποιο παρὰ θ' ἁλωκῶσι· 110
κακῶς δ' ἄρα γε πράξασιν Ὀλυνθίοις τε
αὖθις πάλιν δείλαιοι Φωκαεῖς οὔ τι
μέτριον τοῖσι· καὶ μὴν τοῦτό γε μάλα γνοίη
φ. 5α μὴ τήνδ' ἔσσεταί τις ἐς τὰ πρόσθεν πρεσβήια,
ὅς ῥα μᾶλλον ἐτήτυμόν τε σκοπέων τῶν ἤδη. 115
Χρήσαιτο δ' ἂν τις τέκμαρσι πάρος γε νήσοισι·
ἠδ' ἠπείροισι τάων οὐδὲν ἄμμιν νοστήσας·
ὅς δὴ πείσυνος ῥεῖα μάλα γ' ἕξειν ἠδὲ σχήσειν
εἴως τερμάτων ἀλλότρια οὐκ οἶδ' ἄρα
φρεσσὶν ἑοῖσιν ὅδε πρὸ ὥρας τάχα ῥοήσει, 120
μὴ εἰδὼς ἴσα κ' ἠρινοῖς ἄνθεσσί τε
ταῦτ' ἄρα γε παραιρεῖται κάλλεϊ κρήνων

βάθρων μὲν πάροιθεν Σμύρνης διασεισθείσης·
ἀλλ' οὔπω γε βασιλεῦσι κοιράνοις λῆθε,
πᾶσαν αὐτὰρ Ἀντωνίνου Μάρκου τήνδε 125
ὥσπερ ἔην τὸ πρὶν ἀκαρεὶ καταστάντος,
καίτοι δεισιδαιμονίᾳ περ ἐμπλαχθέντος γε·
ἤγειρε κλέος δ' ἄρα αἶψ' ὅ γ' ὅμως ὡς πάρος
ἄμφω λαὸν δ' ἀγείρας ἀμύμων ἐνῆκε.
Τείχεα μέντοι Σεμιράμιδος Βαβυλωνίων 130
ἥκιστα μιμητὰ γ' ἔξοχ' ἀποκρύπτων πρόσθεν
Κύρου βασιλέως Περσῶν ἑαλωκότα Μήδου
ἠμὲν σκηπτούχου Δαρείου τηρηθέντος
καὶ ἐόντων ὡς μάλιστά περ μὴ βλαφθέντος
ἔθνεος παντὸς κοιράνων ἄγαν πολεμίων. 135
Ἄμμιν γὰρ πόλεως εὖ ναιομένης Θετταλῶν
ὥσπερ ἁπάντων πασῶν ἐκράτει πολίων τε.
Ὥς ὑπερήλασε κακῶς πράττων· θεοῖο δ' ἄρα
τήνδ' ὥστ' ἐκπέρασαι βαρβάρων ἔθνεϊ δόντος·
λεὼς γὰρ ὠλέκητ' ἀναίδην ἀχνύμενος ἤδη· 140
πῖπτον δὴ νεῶν κάλλε' οἷδ' ἑοῖς ὀφθαλμοῖσιν
φ. 5β κοπτόμενοί γε ὀρόωντες σφίσιν αὐτοὺς ἀτάρ·
ἥν ζωὴν ἔχειν εἰκάζοντες ἀβίωτον
νήπια τέκνα φίλα σφέων ἀλόχοις σὺν ἅμα
ἔκ τε μεγάρων ἠδέ γε πάτρης πόρρω τούσδε 145
λυγρῶς ἐξοστρακισθῆναι φίλον γε ἦτορ
ἀχνυμένους· ὡς ὤφελλον ἄρα ὅν θυμὸν αὐτοῦ
πρὶν ἰδέσθαι ἀλεγεινὸν θέαμα κυδάλιμον κῆρ
ἐκλιπεῖν, Ἀΐδαο πυλάων μᾶλλον δ' οἰκεῖν.
Πολλὸν μέντοι στρατὸν ξυναείρας πάλαι 150
ὄρχαμός τε Βαβυλωνίων Ἀθήνησι
Ξέρξης Δαρειογενής· ὥς γὰρ ὤρσε τὸ φίλον
ἦτορ πᾶσαν ἐπ' αἶαν ἄρδην Ἑλλάδος τ' ἐκπέρσαι,
ὅς τοι μήδεα πυκινὰ δ' ἥκιστά τε Ἀθήνῃ
θυμὸν ἐνῆκ'· ἐπιὼν δ' ἄρα τριήρεσσι πόντον 155
Αἰγαῖόν τε σχεδὸν ἀποκρύπτων δὴ πάντα
ἄστυ μὲν φθίνων ἀφειδῶς ἠδὲ καὶ κώμῃσι.
Δίκη γὰρ οὐ μέλλεν ἐᾶν ποιεῖν τοιάδε,
ἀλλὰ τάχος γ' ὡς εἶχε μετίει τόνδ' ἀξίως·
μὴ ἐμβὰς ὕπερ οἱ δ' ὄφρα γε γνοίη μάλα 160
ἑσταῶτα καλῶς, τόν γε δὴ ἄφν' ἐκπέρσαντα
τούς τε ὅρους οὕς πρὶν ἔσχ' ἐς νομὸν ἐν δίκῃ τε

μηδὲ τετῦχθαι ἀγήνωρ ἠδὲ ὑπερφίαλος.
Δειλαίων τ' Ἐρρετριαίων ἀναρπάστων
γιγνομενάων πάντοσ' ἔεργον τὴν ἀλεωρήν. 165
Οὕνεκα ληφθέντων αὐτὰρ ὥς ἐν σαγήνῃ,
πρόσσω δ' ἄρα χωροῦντα Θηβαίων ἤδη
Ἑλλάδος τε πάσης, ἠδὲ Θετταλῶν, Λακώνων
πλήν, ἤ γ' Ἀθήνησι καὶ ἐνίων συμμάχων
φ. 6α τοίδ' ἀολλέεες χωρὶς φιλτάτων νηπίων 170
καὶ ἀργῶν ἄλλων μὴ δυναμενάων τῇ τε
αἰνῇ ναυμαχί' ἀρρωγεῖν τάων πάντων
ἐξέθεντ' ἐν Τροιζῆνι, αὐτὰρ οἶδ' ἐπόρουσαν
πρὸς κοιράνῳ δὴ συμβαλλεῖν Σαλαμῖνι.
Πρησθέντων μέντοι μεγάρων τειχέων τ' ἀρραγῶν 175
βίην χαλκοχιτώνων μὴ δονέεσθαι πάντη
μοχλευθέντων πυρὶ τ' αἴθοπι ἠδὲ πτώσει·
τοῖσι δ' ἄρα τὸν βάρβαρον συμβαλόντ' ἄμφω
τράπετ' ἔνθεν παλίνορσος εἰς φόβον κάρτ' αἰσχύνῃ·
τῇ δ' ἔστη τρόπαιον Ἕλλησιν ἅμα γ' ἐκ πολεμίων. 180
Τραπέντων δ' ἤδη τάων κατὰ φυγὴν κράτος
δυνήθη μόγις οὐ πολάων μέτα θάτερον, αὐτοῦ
ἄρδην λιπόντος ἀρχοῦ, ἠφανίσθη θ' ἅπαν,
ὥς γ' Ἀθηναῖοι ἐκ πάτρης ἧσσον ἔλοντο.
Τὺ δ', ὦ δειλαία πασῶν πολίων, μήτε σαυτὴν 185
οὔθ' ἕτερον δύνασθ' ἀμύνειν ὥρᾳ γε μάχης,
προὔθηκας ἀτὰρ πολεμίοις σαυτήν. Ὦ μοι
θεῖον ἄγαλμ' ἄρρητον γαίης ἠὲ θαλάττης
πάντα μὴν ἀποκρύψας κάλλεϊ πάντα γε πτώσει.
Ὦ μήκιστα κακίστων ἰδὼν ἑοῖς ὄσσε 190
πάντοσε κειρομένη τὸν ἴδιον δ' ὤμοι κόσμον.
Ὦ κύκλος τειρέων, πῶς δ' ἄρ' ἔτλης τοιάδε
σοῖς ὀφθαλμοῖς ὁράαν, Πληιάδες Ὑάδες τε
ἠδὲ καὶ Ὠρίωνος φαεινὸν πᾶσί γε φάος;
Ὦ Ἠελίοιο κροκόπεπλον φέγγος· Σελήνης 195
αὐτὰρ ἐνύχιον θ' ἅρμα· πῶς γὰρ δυνήσθην
ἀνύσαι ὅν πόρον τοῦ τ' Ὀλυμπίοιο ἠδὲ χάους·
γαίης δὲ πλάτος Ὠκεανοῖό τε ῥέεθρα ὄντι
φ. 6β λείψαντες σφέων βάθρων ἠδὲ θεμέθλων δύντε.
Ὦ νήσων τε καὶ ἠπείρων ἔθνεά τοι πολλὸν 200
ἀπείρων, ἠέρα ἐσσάμενοι παρειάων
ἁπαλάων πάττοντες κόνιν κάραισί τε,

αἵ τ' αὐτὰρ ἄλοχοι καρηκομόωσαι τῇδε
θαλάμοισι κάδμεναι τανύπεπλοι· ἦσι
δ' ἄρ' ἀγλαέσσι τε κόμῃσι σφίσι ξένουσαι. 205
Ὦ νεῶν κάλλη οἰκεῖος κόσμος πτολιέθρου
καὶ Μουσῶν παντοίων ἄρα γε ταύτῃ κύκλος
καὶ ἀρητήρων πληθὺς οὐκ ἄτιμος εἶσι.
Ὦ δικῶν τε θρόνων καὶ ψήφων ἀρίστων τε
κρείττων ἢ Ραδαμάνθυος, ἠδέ γε καὶ Σώλωνος, 210
οὕς μάλιστ' ἐπιφημίζουσιν Ἕλληνές τε
ἔν τε σοφίᾳ καὶ δίκῃ. Ὕθλος ὁ Μίνως ἐκεῖνος
ἠδὲ Λυκοῦργός τ' εὔχός θ' ἅμα τοῖς Λάκωσι
καὶ κῦδος τοῖσιν οὐ μέτριον τῷδ' ἄρα.
Νῦν αὖθις ὥρα βοστρύχους σφετέρους ἐκτίλλειν 215
ἠδ' ἔξωθεν εἰσκαλέειν πρὸς θ' ἑὸν θρῆνον τούσδε.
Καὶ γὰρ λεὼς σὸς πάγχυ πλὴν ἐνίων ἀτίμων
ἐξέλιπ' εἰς τέλος, νῦν δ' ἤματι μέντοι ἐνὶ οἴκῳ
πυλάων πάντοσε ἠὲ προθύρων ἀσφαλῶς τε
τῶνδε κεκλεισμενάων τοὺς τ' ἔνδοθεν αἰεὶ κλάειν, 220
αὐτὰρ ἐν νυξὶν κωκυτῶν σμερδαλέων τ' ἴειν
ἐσσαμένους ἠέρα καλέειν ὧδ' ἀπαλλαγήν.
Ὥρα δή σοι φύσιν ζητεῖν ἀλλάξασθαι
ἥν πρώιον ἔσχες ἄρα, ὡς παῖδές θ' Ἑλλήνων
ἐννέπουσι· τὰς μένθ' Ἡλιάδας αἰγείρου 225
τὸν τ' ἀδελφεὸν ὅν ἀλλάξασθαι φύσιν φασὶν
Ἀλκυώνην δ' ἄρα γε ὄρνιν τήνδε γενέσθαι.

Β'. ΑΝΩΝΥΜΟΥ
ΜΟΝΩΔΙΑ ΕΙΣ ΤΗΝ ΘΕΣΣΑΛΟΝΙΚΗΝ

(διὰ στίχων ἡρωικῶν)

Ὤμοι γε πώποτε γιγνομένων ἱερόν τε καὶ θεῖον
χρῆμ' ἁπάσης Εὐρώπης χάριεν ἠδὲ πρῶτον
ἅμα καὶ κάλλιστον μετὰ τὴν πρωτίστην πόλιν.
Ποῖος δ' ἄρ' ἱκανὸς γένοιτο θρῆνος πενθῆσαι
ἄληστον πάθος ἧκον ἐπ' αἶαν τηλικοῦτον; 5
Ὀρφέως ἥττηνται μουσικοῦ Θαμύριδός τε
λύρ', ἔτι μὴν Τερπάνδρου ἀμύμονος Λεσβαίου.
Φιλίππειο μὲν ἄστυ γε Μακεδόνος θ' ἑάλω, φεῦ,
βαρβάρων ὕπο λίην ἐχθίστων πολεμίων·

δυσμενέων θειοστυγῶν ἔργον γίνεθ' ἥδε. 10
Καλύπτεις μέντοι μεγέθει πάθεος ἧς πρότερόν τε
αἵ θ' ὥρ' εἶδ' ὡς μάλιστ' ἂν ἀτυχήσαντας.
Θήβας φασὶν Ἀλέξανδρον πάντη γ' ἐκπέρσαι·
κρείττον' ἀριθμοῦ λείαν ᾧχετο λαβὼν 'κεῖσε,
τείχεα τῆσδε στρέψε κάτ' ἔλδωρ θυμοῦ ῥέξας· 15
αὐτόθι μὲν χρόα θ' ἅπαντα διώλολε χαλκῷ,
ἐν παρατάξει μάχης ἀλλήλοις συνιέντων.
Παιρετέρω δ' αὖ οὐ προέηκε ξίφος χάρμῃ.
Αὐτὰρ ἐνθάδε διπλοῦν ἀνθ' ὅπλου πόρε ποινὴν
ἡ δειλαία. Ὡς ὄφελόν γε πύλαις Ἀΐδαο 20
κεκρῦφθαι πάντη περικαλλῆ ταύτης κόσμον.
Τίς μὲν ὅσα βλεφάροις χεύει κατὰ δάκρυ· οὐ μὴν
δύνατ' ἀειρομένην φλέβα ἐξάραι κραδίης
τόσσον ὀδυρομένης. Ὦ μήκιστα μηκίστων
φ. 180β ἰδὼν καὶ ἀκούσας πένθος μὲν γ' ἑτάροισι, 25
χάρμα μέγιστον δυσμενέων τε μάλιστα θεοῖο.
Ὦ αὐδὴ λευγαλέη πτερόεσσα τάχιστ' ἐλθοῦσα
πᾶσαν ἐπ' αἶαν Ἴριδος φήμῃ ἁπαναχῇ·
ἀρίζηλον ἐὸν μέντοι ἄστυ γε πάροιθεν
οὕνεκα θνητῶν ἀριπρεπέων λαχόντες 30
ἀνδρῶν ἡρώων σοφίης θύραθεν μάλα
τῆς γ' ἄνωθεν ἐπιούσης ἄμμιν θεοειδοῦς
νηῶν ἀπείρων ἀμίμητον ἰδέσθαι χρῆμα
βουληθέντα μὲν οὐ χαλεπῶς ὑμνῆσ' ἀξίως.
Αὐτὰρ ἀδύνατον ἑξῆς ἀείδειν αἶνον τούτων· 35
Νῦν προὔκειτ' ἀλεγεινὸν πάντ' ἐσόραμα φευκτὸν
ἰδὼν καὶ ἀκούσας, πένθος μὲν γ' ἑτάροισι
καὶ μὴν ἄξιον πολλῶν δακρύων χεῦμα.
Ἔθνει μέντοι βαρβάρων ὁράαται τῇδε
ἄσεμνα παιανίζοντι, λιγαίνει δ' εὔδαιμον 40
ἦμαρ ἐν ἡμετέρῃσι τύχῃς φάος ἠελίοιο.
Ταῦθ' ὁρόων ἐξ ὕψους οὐκ ἔστραπτ' ἀντίως
τήν τε πορείαν ἡμεροφαὴς πρὸς δυσμάων.
Ἱεριχούντια κάππεσε τείχεα πάν' ἴφθιμα
εὖτ' ἂν Ἰησοῦς ῥεῖθρον Ἰορδάνοιο περᾶται 45
Ἰσραηλίτην λαὸν ἀνίκμοις ποσὶ Ναυῆ
αἱρομένῃς παλάμῃσιν ἔχων, ὑψοῦ θ' ἵστησιν
δυσμενέων τρόπαιον κατ' ἠελίοιο πορείαν

παλίνοστ' εἰργάσατο ὥρῃσιν ἐνὶ μάχῃ.
Τρισὶ δῦναι γὰρ ἤπειγ' ὑψόθεν αὐτὸν κάτα 50
Οὐλυμπίου κάρτος ἀριπρεπέος μάλιστα
φ. 181α ἐκπέρσαι πτολίεθρον τάων πάνυ μεμαώς.
Τάδ' ἐτελείετο πάντα κατὰ μοῖραν ἥρωος·
ἀλλ' ἐνταῦθ' ἅπαν ἀντίον, ὡς οἷμ' εἰληλούθει.
Πάρος μὲν κλέος ἀήττητον Δημητρίου 55
τῆσδε πόλιος ὕπερ πρόμαχον τ' ἦν ἀεὶ βίῃ,
ἀνὰ οὐλαμὸν τ' ἀνδρῶν πολεμίους βάλλον
τεῖχος γ' ὧν ἑτάροισ' ἀπόρθητον πολεμίοις,
αὐτὰρ μάλα κραδίην σείων τῇ φύζῃ.
Τίς δ' ἄρ' ἐπέσχε μιν ὄφρ' ἐλάσει γ' ἐνταῦθα μάλιστα 60
ἔθνε' ἀπειρέσια πολεμίων τηλόθι πάτρης·
ὥς κε τελείως μὴ ἀνάστατον ἄρδην ἔθνος
ἰδέσθ' ὀφθαλμοῖς ἀεικέσι τὸν μάρτυρα
τοσσάτιον καὶ οἷον βαρβαρικῆς ἔργον
χειρός; Τί δ' ἄρ' ἄλλ' ἢ γ' εἴσπραξίς τε δικαίη 65
ὧν παπαρῳνήκαμεν θεῖον ἐπ' ἀσύγγνωστα;
Οὕνεκα πάϊς φίλον πατέρα καὶ πότνια
μήτηρ θύγατρ' ἀγομένην ἐθεώρ' ἀηδῶς·
ἰσχανόωντο μὲν ἀρρήγειν τοῖς ἐς δύναμιν,
χεῖρε δ' αὐτὰρ ἐπείχοντο κλοιοῖσιν ἀλύτοις. 70
Ἀλλ' ὅπερ ἦν ἑξῆς ἄκος ἀγομένοις περιπαθῶς,
τοῦτό γε μάλιστ' ἔδρων κατ' ὀφθαλμῶν δάκρυ
ἄλλος ἐπ' ἄλλῳ κασιγνήτῳ ἢ φίλ' ἑταίρῳ,
σύμμικτον στοναχαῖς τ' ἔχευον ὁμοίως κρήνῃ.
Τούτων οἱ μὲν Ἀσιάτιδα γαίην ἐλεεινῶς 75
ξύνδυο ἤτοι γε πλείους ὁρόωντο πέδῃσιν
ἀφύκτοις γοερῶς ἵκανον, οἱ δὲ Θρῃκικὸν
φ. 181β κλῖτος παρελέγοντ' ἐς τὰ κύκλῳ πρωτίστως.
Αὐσονίων φιλοχρίστοις ἄνδρεσ' εἰς ὠνὴν
τληπαθεῖς προὔκειντ' ἀλεγεινὸν πᾶσι θέαμα, 80
οὔ τι φορητὸν ἐπαίειν, μήτοι γ' ἰδέσθαι,
ἀνδρῶν, φεῦ, πολιὰς χειρῶν ὑπὸ βαρβαρικῶν
ἑλκομένας ἀτίμως. Τούτων ἀείδεται πάρος
Ναζιραίων τε Θεῷ περὶ ἀνατεθειμενάων τε
πόντιον σμῆνος νηυσὶ πεντήκοντα πρίν, 85
ὡς ἐνέπουσιν οἱ ταυτὶ γράψαντες, πρὸς τρισὶν
ἐξωρμημένοι γαίης Αἰγύπτου Σαρακηνῶν,
τήνδ' ἐπολιόρκουν ἁλὸς ἀτρυγέτοιο κατ' ἦμαρ,

ἥν γε παραστησάμενοί θ᾽ ὡς οὐκ ὤφελον, ὤμοι,
τῶν ἄλλων πρωτίστους διαφερόντως εἰς ἕν 90
συλλεξάμενοι αἱμοβόροι σκύλακές τε πὰρ νηῷ
τριακοσίου θειοτάτου μεγάλ᾽ ἐν μάρτυσι
ἥρωός τε Γεωργίου κοσμήτορος ἀνδρῶν
ἡγεμόνων σκηπτούχων ἠδὲ βασιλείων τε
νηλεὲς ἀκρίτως πάντας κατέπεφνον ἄρδην, 95
ὥς ἐπέτελλ᾽ ἔξαρχος ναῶν, φασί γε, τάων.
Πάντα λεὼν ἐξηνδραποδίσαντο πτολιέθρου
γηραιῶν ἡμὲν νηπυτίως χωρὶς γυναίων·
αὐτὰρ ἡλικίην ὅσ᾽ ἔμελλ᾽ ἐγγυαλίξαι
λύτρ᾽ ἀπειρέσια δήσαντες, κἄτ᾽ ἐνθέντες 100
ναυσὶ γλαφυρῇσι, ἀτὰρ λαῖφος διάραντες,
φίλην ἐς πατρίδα γαίην καθυπενόστουν,
τήν τε πόλιν μέγ᾽ ἄρ᾽ ἅπασαν Ἡφαίστῳ παρέσχον,
φ. 182α γηραιοὺς δ᾽ αὖ, νηπίων πληθὺν νεόλεκτον,
ἔθνεά τοι κλαυθμυρίζοντα οὐκ ἐλέαιρον. 105
Παιανίζοντες πατρίδα γαίην οὗτοί γ᾽ ἐκίχειον.
Ἄστυ γ᾽ ἐνιαυτοὺς διήρκησε δύο ἑφεξῆς
πρὸς τρισὶν εἰκάσιν, ἠδ᾽ αὖθις μιᾷ δεκάδι τε
ἄοικον, ἄπειρον ἐκ μερόπων θέαμα ἀλεγεινόν.
Αἰνὴν ἅλωσιν πολύδακρυν Ἄρηά τοι πάντη 110
βουλομένοις ὁράαν ἦν. Καὶ τάδε μὲν πάροιθεν·
νῦν δ᾽ αὖ πολλῷ διαφέροντα ὅσῳ καὶ χείρω
τῶν προτέρων γεγενημένα ἐξερέω μάλιστα
οὕνεκα θυμοῦ ἀπώλειαν ἐσχάτην τε,
τῆμος ἐπεὶ καὶ πολλοὶ μάρτυρες ἀνεφάνησαν, 115
οὐρανίων τε γερῶν ἀξιωθέντες πάνυ.
Νῦν αὐτὰρ οὐκ ἦν τοῖον καυχήσασθ᾽ οὐδέν.
τίς γε πόρει κεφαλῇ μου ὕδωρ, ὀφθαλμοῖσι
πηγαίην δακρύων ἀένναον Σιὼν
ὥς κε μυρήσοιμ᾽ ἂν ἀξίως πάθεος ἤδη. 120
Ἀειθαλὴς ἦν ὅτε πολλὸν χαρίτων τε
βρίθουσα λευγαλέον ἦμαρ πάντ᾽ ἀλέγειν
ἐκτροπιαζομένη αἰεὶ κήδεα λυγρὰ τύχῃ.
Καὶ μὲν ἔην αὐτῆς χάρι᾽ ἅπαν τὸ πλήρωμα
ὡς ῥά ἐνισκῆψάν τ᾽ οὐκ οἶδ᾽ ὅθεν θρῃκικοῦ τοι 125
βορραίου πλῆρες νέφος ὀϊστῶν δὴ πυρίνων
ἠδὲ χαλάζης· αὐτὰρ ἀειρόμεν᾽ Ἀδριανοῖο
βασιλῆος ἄπειρον κάλυπτον κάτα γαῖαν

Μακεδονίης· ἄλλῃ μέντοι πορεί' ἐμφαῖνον
φ. 182β ποιεῖσθ'· εἶσι δ' ἄρ' ἀτεχνῶς Φιλίπποιο γ' ἄστει. 130
Τῇδε γὰρ ἔσχε νόον περιβαλεῖν Θετταλῶν τε
πρωτίστην πόλεων ἐξ Ἄγαρ ἔνθα κύκλῳ
λαβὼν καὶ περινοστήσας γόνος ὠκύμωρος
ἐξώλης προόλης τε ἁλὸς γ' εἰς ἅλα στρατῷ,
πάνδεινα βλεμεαίνων, καί μιν οὐκ ἀφέξειν, 135
πρὶν ἂν παραστήσοιτο τήνδε πάροιθεν. Ὥς γὰρ
ᾤετο μύθοισι κεύθειν ἀπατηλοῖσι
βούλευμα δόλ'· ἐπεὶ δ' οὐκ ἤνυε, μῆνιν σφοδρῶς
οἰκουροῦσαν ἔχων, ὥρμαινε βίῃ πρὸς μάχην.
Καὶ μὲν ὀϊστοῖς πυκινοῖς ἔβαλον λοιγὸν εἴσω 140
ᾗ προϊάψειν δεινὸν ἅπαν ἥκιστ' ὀροδούσῃ
κεῖθεν ἰὸν τ' ἔγχριπτόν τ' ἄστεϊ κλίμακας ἔξω
τηλόθεν ἔγγιστα φέρον, ἤριδόν τ' ἐπὶ τείχει,
ἄλλοι δ' ἄποθε βάλλον τοῖσι βέλεσι πλείστοις
παραπλήσι' οὐρανίοις ἄστρασι. Κεφαλῆς 145
ὕπερ ἀὴρ ἅπας ἐπληροῦτο, βιῶν δὲ κλαγγὴ
πλεῖστον ἀειρομένη βρέμεται τόσον ὡς μηδαμῶς
οὐδὲν κλύειν ἄτερον ἀγαυὴν ἑτέροιο.
Αὐτὰρ ἔνδοθεν ἑσταῶτες τοῖσι προμαχῶσιν
ἔμπροσθεν δ' ἐμάχοντ' ἀγηνορίῃ μεγαθύμως, 150
ἀκροβολισμοῖς χρώμενοι καὶ καταπέλταις τισί,
δόρρασιν ἔγχεσί τε κλονέοντες δηρὸν αἰεὶ
ὥς πρωτίστην ἡμέραν ἀλλήλοισι φέροντες
Ἄρην· χεῦντο δ' ἀπειρέσι' αἵματα πολύδακρυν
ἀμφοτέροισιν ὁμοίως. Ἑξῆς τῇ τριτάτῃ 155
εἰσωθοῦντο οἱ μὲν δι' ὀρυγῶν τείχεος ὕπο
ἠγμένοι κύκλῳ, αὐτὰρ ἄλλοθί που βεβαῶτες.
Ὥς σμῆνος μελισάων, ἡνίχ' ὁ γόνος τῶν σίμβλων
ἐκφορέοιτό γ' ἐφεξῆς ἔνδοθεν εἶναι ἀνάγκη
ἐσθίειν ἀλλήλας ἠδὲ μάχεσθαι πλήθει, 160
ὡσαύτως οἵδ' ἐμπίπτοντες ξὺν ἀλλήλοις.
φ. 183α Μάλ' ἐραΐζετο ἀνδρῶν ἡρώων φίλον ἦτορ.
Ἦν δ' ὁράαν πάντη γ' αἱμάτων ἀπείρων χεῦμα,
οἰμωγὰς οὐλομένων ἀντίβιον, αὐτόθι δ' ἠχὴ
Οὐλύμποιο καρήνας ἀειρομέν' αἰθαίρ' ὤρτο 165
νηπυτίων ἀεικέα λοιγὸν σφῶν γοερῶς τε
κλαυθμυριζομέν' ἄορι κασιγνήτους αὐτῶν
γειναμένους πνείοντας ὀλοίσθια ἠδὲ καίρια

πείσεσθαι μελλόντων ἄλλῃ τε γλυκὺ φάος
μητρόων ἀπαῖρον κλοιὸν ἐνὶ δειρῇ φέρον. Ἀτὰρ 170
καὶ ὅν ἐφίλει μάλιστά γε τοκεὺς πάροιθεν
υἱέα τῷ χέρ' ὄπισθε πέδησεν ἀλύτοις δεινῶς
τυπτόμεν' ἐξάγοντος πείρετ' ἀνίῃ θυμόν,
πάντοθεν ὀξὺ οὐτάμενος βέλεϊ ἀϊδήλῳ.
Πυρὶ ὁμοίοιον ἤγετο Κουρήτων, ἐσμός τε 175
βαρβάρων ὑπὸ χειρῶν πρηθῆν' Αὐσονίοις γε
μέλλων Ναζιραίων πληθὺς θ' ἱερήων κάρτος
παρθενικῶν γυναίων πολυάριθμον σύνταγμα
ἔθυσ' ἀριθμῷ πλείω γ' ἑξακισχιλίων
συνελέγοντ' ἠμὲν νεκύων ἀνδρῶν ἡρώων. 180
Τῇδε τάφους ἀναμοχλεύοντες θειοστυγεῖς
φ. 183β ὥρμαινον ἄρδην αὐτοῖς νηοῖς στρέδαι κάτα.
Τίς δέ κε ταῦτα θυμῷ ἀδακρυτὶ παρείη,
εἰς μή τοι κάλλος γ' εἴη ὅδε αὐτόχρημα;
Τίς δύναιτ' ἂν ἀναγράψαιτο λόγος πάνθ' ἑξῆς 185
ἱστορίῃ μὲν δοῦναι κρατίστοις ἀνέρεσσι,
τίς δ' αὖθις τόσσον κλέος ἔσχε λόγου Μουσάων
πάντ' ἰέναι ῥηιδίως τότε γιγνομενάων;
Καὶ πρότερον Σεναχηρεὶμ ἀγείρας στρατὸν οὔ τι
τάχ' ἀριθμῷ βληθῆν' ἐκ Περσίδος γαίης 190
καθ' Ἱερουσαλὴμ πορθήσων ἶκται μεμαώς,
πλεῖστά γε ἠνορέῃ ὄφρα κάρτος γε κατασχὼν
ἀνάζευξ' ὡς ᾤετο κοσμήσων οἰκείαν
λαφύροις ἐντεῦθεν ἀγήνωρ. Ἔνθ' εἰσβάλλει
πάντοθεν· ἤτοι ὅ γ' ὥς ἐνόμιζε παραστήσασθαι 195
τήνδε ἀναιμοτὶ νήπιος. Αὐτὰρ ἔγνω παθών·
ὡς γὰρ ἐπεὶ φάος ἠελίοιο ἔδυν' ὑπὸ γαῖαν
καὶ νὺξ πάντη διεσκίδνατ' ἐπ' αἶαν, στρατὸν
νήδυμος ὕπνος ἔσχεν ἅπαντα· κατ' Οὐλύμποιο
καρήνων ἄνωθεν διαπτὰς κατέπεφνεν 200
ἄγγελος αὐτόθι, μικροῦ γ' ἐξερέω, ἅπαντας.
Καί γε Σεναχηρεὶμ βασιλεὺς Περσῶν ἐπανῆκε,
πολλοστὸν πάνυ ἠδ' εὐαρίθμητον μεθ' ἑαυτοῦ
στρατόπεδον φορέων ᾐσχυμένος, αὖθι δ' ἀνήει.
Ἑξῆς οὐδὲν τοιοῦτόν γ' ἠμέλησεν ἔτι οἱ, 205
ἀλλ' οὐδ' ἐνταυθοῖ θεομηνίαν τιν' ὁρῶμαι
οὕνεκά τοι συὸς ἠμὲν χλούνου κατέστραπται
φ. 184α τάδε· ἵνα δ' ἐρέω μάλισθ' ὑποφητῶν θείας

αὐδὰς καὶ ταυτῃσὶ χρήσομαι ὧδ' ἐγκαίρως.
Ἑλλώρια μὲν οἰωνοῖσί τε πᾶσιν ἔθεντο 210
κύνεσι, βορρὰ δὲ χρόα τ' αὖθις κυδαλίμων
θνησιμαῖά τε τῶν δούλων σου βρώματα φηρσὶν
ὕπαιθρα, καὶ παρῆν γ' ἐνταφιάσων οὔ τις.
Θυγάτηρ μὲν Σιὼν καταλέλειφθ' ὡς σκηνὴ
φυταλέη δὴ βοτρύων οὐκ ὄντων οὐδέν· 215
ἐξέχεαν δ' αὖ αἷμ' ὡσεὶ ὕδωρ γῆς κύκλῳ,
ἱρὰ δὲ τεμένη ἐβεβήλωσαν τάδ' ἐναγεῖς,
κατορχήσαντ' ἀνιέρως οἱ βέβηλοι· ἄλλα
μὴν κατωρύξαντο θεμέθλων, οἰόμεν' εὑρεῖν
γαίην ὑπὸ χρυσόν τ' ἠδ' ἄργυρον σφίσιν αὐτοῖς. 220
Ὦ πόποι, τίς δ' ἄρ' ἀξίως τραγῳδεῖ πτῶσιν
ἄστεος, ἧς οὐδεὶς ἀνήκοος ὑφ' ἡλίῳ;
Ὦ πρότερον μὲν ἕδος κόσμιον ἐρατεινόν τε
οὐδὲν τοῖον ὅσα γε μάλιστ' εὐφραίνειν οἶδε·
ὦ πάρος μαρτύρων ἀγλάϊσμα θεῖον 225
ἥ τε μὲν ἅπασα διάφορος σοφίη παραιρεῖται.
Στηλογραφίαι θείων ἐκτυπωμάτων τε
τὰ μὲν ἐρριπτοῦντ' εἰς ἔδαφός γε ἀτίμως, πᾶσι
δυσμενέεσσι προὔκειντ' εἰς ἄγος αἰεὶ κοινόν.
Ὥς καὶ ταῦτα μὲν ἔπλετο εἵνεκα ἀμπλακιῶν. 230
Ὦ μελέων εὐρύθμων φωνῶν ἀοιδῶν τε,
θειότατον πάρος σκηπτούχων ὡράϊσμα,
νῦν δ' ἄληστον πένθος ὁρᾶσαι θεωρεῖν πᾶσι
φ. 184β βουλομένοις μετέπειτ'· οὐδεὶς γὰρ ἀνορθῶσαι
δύναιτ' ἂν οὕνεκα παρερύης ἄλλῃ τῇ αἴσᾳ 235
δυσμενέϊ μάλιστα φύλῳ ὑποέπλεο δεινῶς
σκηπτούχων αὐτοκράτορ' ὡς πορρωτάτω γε.
Αὐτὰρ θεῖς κίνδυνον νῦν θυμοῦ πέρι· κύκλῳ
γὰρ σέο, κύκλῳ Πέρσ' ὀλετῆρες, ἀτίθασον φῦλον.
Σμύρνης πάλαι πεσούσης κρηπίδων ἐξ αὐτῶν, 240
εὕρατο τάχος πτώματος ἀνάκλησιν ἄποικος.
Ἀθήνησί τε Αὐσονίων τηνικάδε αὖθις
ἀνῆκ' ἐς μάλιστ' ἀρχαῖον κόσμον τόσσον
οὐ πόρ' ἑοῖς οἰκήτορσι γόον· ὡς ὤφελλες
καταδῦν' ἅπαξ ὡς πρότερον θρυλλούμεν' ἄστυ γε 245
πενταπόλιος ἐν ἀμφιτρίτῃ τά γε ἐφεξῆς
δεξόμεν' ἄλγ' ἤμελλες ἀλαιείνειν δύσμορ' ἔμοιγε.
Νῦν δ' ὁράαται δισσῶς ἁλοῦσ', εἰ καὶ τρίτην

μοῖραν θυμὸς ἑνὶ στήθεσσι ἐπιέναι μάλα
πρωτίστην Λατίνων τε θεοῖο παρατραπέντων 250
ἀφραδί' ἠμὲν ἀγηνορίῃ δογμάτων χάριν
γιγνομέν' ἐξ Ἄγαρ ἀνάστασις ἀνδραποδισμὸς
τῶν τεκέων μικρῶν τριτάτην γε τελευτῶν
τὰ οἰκείαν δι' ὑπονόστησιν μὲν ἑκοῦσαν
σφῖσί τε γιγνομένην μεγάρων καὶ ἄλλων αὐτοῖς 255
ἀκινήτων τε κτεάνων. Φιλέουσι μάλιστα
δὴ μέροπες σφετέραν πάτρην ξέν' ἔδαφός θ' ὑπὲρ
εἴ τοι καὶ πρὸς ἀέρ' οὐχ' ἥκιστ' εὐαγῶς σχοίη
ἠδ' εὐθηνί' ἐδωδίμων πλέον οἰκείας
φ. 185α ναιετάειν. Ἑπτὰ μὲν Λατίνων ἔτεα ἔσχον 260
οἷδ' ἐς ἐπικουρίην ἔθνος, ἵν' ὡς ἑκὰς ἅλμα
τὴν ἔφοδον συστέλλωσιν Ἰσμαΐλητῶν
καὶ πόρρω που τῆς γε πόλιος ἐκείνων ἵλας
ἀποθέειν κυδάλιμον κῆρ μεγαθύμονι γνώμῃ
ἀντίβιον πάρος εἴργειν ὅσσῃ δύναμις ἦν. 265
Πολλάκις κατηγωνίσαντ' ἐκχυθέντ' ἄφνω
καὶ τρόπαιον στήσαντες παλαμναίων ἄπο,
ἀλλ' ὕστατον ἄμιν τόσα λύγρ' ἀπάντησε ταύτῃ
συμβῆν' οἴδμασι λευγαλαίοις πόντοιο
στρατοῦ μάλα πολυφλοίσβοιο ἄπειρ' Ἀσίης 270
ἠδ' Εὐρώπης, ὥστε περίδρομον αἰεὶ κλῦσαι.
Καλύπτουσι μὴν πάρος ἀνδρῶν ἡρώων τε
μάχας καὶ τρόπαια· πρὸς γὰρ τὸ τελευταῖον δὴ
ἑκβὰν ἕκαστον τῶν πραγμάτων ὡς τὰ πολλὰ
κρίνεται· ἀλλὰ σύ γε χρόνιος τεὸν ἄλγος πέψῃ, 275
οὐλομένην αἶσαν μελετῶσ' αἰεί, καὶ κόσμον
ὅν προΐαψ' ἐς πύλας Ἀΐδαο θάτερον ἤδη
ἠνδραποδισμένον ἀνοικτὶ καθοράας ἄγχη
καὶ ὅσοι μέλλουσιν ἐνέπειν κατόπ' ἐξερέουσι.
Ἤρθης μὲν πρότερον κρείττων πολίων, ἐνίων πλήν, 280
νῦν δ' ὡσεὶ ὕδωρ ῥέον ἐξέλιπεν χειμῶνος
ὥρῃ τῇσι χαράδραις, ἡνίχ' ὑετὸς γ' ἄνωθεν
οὐ κατενεχθὲν πρότριτα ἠδ' ἔτι παραμενέειεν.
Καὶ γὰρ ἔοικε παραδείσῳ ἀειθαλεῖ μάλα
τερπνὴν ἡδίστην ἐπιβάλλουσιν ὀφθαλμοῖς, 285
φ. 185β χάριν ὅσην βραβεύβοντι θέσεώς τε θεωρίης
καὶ προσέτι γ' ἀπολαύσεως· ἐπιὼν ῥαγδαίῃ τε
κατ' Οὐλύμποιο καρήνων νεφεληγερέτας

ἄνωθεν χάλαζα, βορραίου θρῃκικοῦ
πνεύσαντος γ' ἐπὶ ῥοίζῳ τουτονὶ ῥιζόθε σείσει, 290
τινάξει δ' αὖ ἄωρόν γ' ἔτι ὄζοις καρπὸν
βρίθοντ' ἀειθαλῆ ἀείζωον θεῖον.
Κεῖται μεσσηγὺ Μακεδονίης Ἑλλάδος οἷον
τι κέντρον τοῦ οὐρανίου κύκλου περὶ γαῖαν,
ἤτοι μὲν ἀμφιτρίτη κοινωνεῖ Ἀσίας 295
Εὐρώπης δ' ἀτὰρ ἠπείρῳ διάκοσμον θεῖον
νηῶν ἀγακλειτῶν πάνυ γε χαριέντων,
πρὸς δέ γε Μουσάων ἔργ' ἠδ' Ἑρμοῦ, τῆμος
πλείονά που ἦρ' εἶδέ τις, ὅς κε δύναιτο φράσαι,
πρωτίστης βασιλίδος ἄτερ μάλιστα ἤνθει 300
ὅσσα πάροιθεν. Ἀναβλύσεις αὐτὰρ πηγαίας
ῥείθρων δαψιλῶς μαρτυρικῶν λειψάνων
ἀενάων ἄχρι τήμερον ἄρδει πλεῖστα
ἔθνεα καὶ σφίσι γίγνεται ἀλεξίκακον αὐτοῖς
φάρμακον μεγαλήτορος. Ὅς δὴ Ἑρκούλιον 305
δεινὸν ῥα κατέπεφνε δράκοντά πω μάλα
δειδιότα, πῦρ μέντοι γ' ἐκπνείοντ' ἀΐδηλον·
τὸν δ' ἄνωθ' ἐνδὺς πανοπλίαν ἐξενάριξεν
κάρτος ἀριπρεπὲς ἄορι θεῖος Δημήτριος.
Ἄγαλμα Θετταλῶν νίκην ἤρατ' ἀρίστην 310
τοῦ σφετέρ' ἔγνωκ' ὀλισθήματος ὁμοῦ πλάνην τε
φ. 186α οὐλομένην ὁρίων Γάζης νόσφι προΐαψεν,
κλειομένας πτύχας γε πάροιθεν ἐρῳῇ λύθρου
ἄνω διάρας. Οὐλύμποιο φαεινοτάτου δὲ
πυρσὸν ἀνῆψας ναυαγοῦσιν ἀέριον ἄμμιν 315
ἠδὲ περαιοῦσ', ἥ τε πέλαγος ἀχανὲς τῷδε
βίῳ ἠερόεν μάλιστ' ἀλαμπὲς θεῖον
βουλομένοις ὑπέρχεσθ' εὐθαρσῶς τὸν ἀγῶνα,
νῦν μὲν ἀείρας ἔνθεν σεῖο πολίσματος ἄνω
ἀλήκτους πρὸς σκηνὰς ἀειγενετάων, ἀμὸν 320
ὑπὲρ νοῦν βαίνοντας κλῆρον τῇδε κάλιπες,
ἔξοχ' ἄριστε μεγαθύμων. Αὐτὰρ σέο ἔθνει
ἄποθεν ἡμῖν ἀϊδήλως ἐχθαίρων πάντη
Αὐσονίων δόξαν ἀπούρας τηλόθι λαβὼν
ἔσχεν. Ὁ δ' αὐχεῖ ἠνορέῃ, καὶ κύδεϊ φυσῶν 325
κάρτει ὡς μεγάλως πόλεμον διενεγκεῖν τούτῳ
καὶ νίκην ἄρασθαι ἐπ' αἶαν σχεδὸν πᾶσαν
ἤτοι ἐγὼν ὁράας ὥσπερ τὺ καὶ ἀλύω,

καὶ μευ ἄλγεα θυμοῦ ἀγαννόφρονος οὔ τι
ῥηιδίως φορέω σέθεν ὕπερ. Ἑκατηέργῳ 330
μέντοι χραισμεῖν, ἀπολέποιπεν. Νῦν, ὡς οἶσθα,
λείπεται διὰ λόγ' ἐξερέειν τὴν τραγῳδίαν,
ἠδ' ὡς οἴομαι ταύτῃ συνείρειν τε ἔπαινον
οὔ τι μὲν εὔχαρι κατ' ἄλλον δή, ὥσπερ ἐγῷμαι.

Γ'. ΣΗΜΕΙΩΣΕΙΣ ΣΤΗ ΔΕΥΤΕΡΗ ΜΟΝΩΔΙΑ

στ. 1-3 Ἀναγνώστης, 70, 2-6. Πρβ. καὶ τὸ ρῆμα π ρ ό κ ε ι μ α ι τοῦ Ἀναγνώστη (στ. 5-6), ποὺ τὸ μεταχειρίζεται τρεῖς φορὲς καὶ ἡ Μονωδία, (στ. 36, 80, 229). Τὸ νόημα τῶν στίχων 2-3 τῆς Μονωδίας τὸ ξανασυναντοῦμε στοὺς στίχους 121-122, 131-132, 223, 280, 284-287.

στ. 4-5 Ἀναγν., 70, 1-2 «Τίς ἂν εἰδὼς πάθεσι θρήνους ἐξισοῦν τὴν Θεσσαλονικέων ἀξίως πόλιν ὠδύρετο;» Πρβ. καὶ ἀνάλογες ἐκφράσεις τοῦ Ἀναγνώστη μὲ τὸ ἐπίρρημα ἀ ξ ί ω ς καὶ στοὺς στίχους 34, 120 καὶ 221 τῆς Μονωδίας.

στ. 20-21 Ἀναγν., 74, 11-13 «. . . κρεῖττον ἂν ἦν ἑνὶ τῆς γῆς ἀνατιναγμῷ ταυτὶ καταπεπτωκέναι καὶ μηδὲ λείψανα γοῦν ἐναπολελεῖφθαι τῷ τόπῳ».

στ. 36 Ἀναγν., 72, 19 «. . . νυνὶ δὲ θέα πᾶσι γέγονας ἀπευκταία». Πρβ. καὶ τὴ σημείωση στοὺς στίχους 1-3.

στ. 38 Ἀναγν., 70, 8-9 «. . . πηγάς τε δακρύων ἐξ ὀμμάτων προχεῖσθαι . . .»

στ. 39-40 Ἀναγν., 74, 23-24 «. . . φωνῶν νῦν αἴρεται ἀσήμων κραυγή . . .» Πρβ. καὶ 74, 8 «. . . θεοστυγῆ διαπράττεται . . .»

στ. 65 Ἀναγν., 10, 18 «. . . εἰσπραχθῆναι δίκας . . .»

στ. 66 Ἀναγν., 76, 14 «. . . ἀσύγγνωστα πταίσαντας . . .» Πρβ. καὶ 22, 8-10 «. . . τῆς ἡμῶν ἁμαρτίας ἑκάστου τὸν ἀόργητον εἰς ὀργὴν καθ' ἡμῶν κινησάσης, παιδείαν ἡμῖν ἐπενεγκεῖν πταίουσιν ἀδιόρθωτα..»

στ. 67-83 Ἀναγν., 40, 18-44, 13 «Εἷλκον οὖν ἀναμείξ . . . συνδιάγοντας ἐξ ἀνάγκης ὁμοῦ». Πρβ. καὶ τοὺς

στίχους τῆς Μονωδίας 163-180.

στ. 75-78 Ἀναγν., 52, 31-33 «Εἴδες ἂν οὖν τοὺς δυστυχεῖς τοὺς μὲν ἐπὶ τὰ τῆς ἑῴας, τοὺς δὲ ἐπὶ τὰ τῆς ἑσπέρας μέρη διασπαρέντας».

στ. 79 Αὐσόνιοι εἶναι ἀρχαία ποιητικὴ ὀνομασία τῶν Ἰταλῶν. Αὐσονία ἔλεγαν τὴν Ἰταλία. Ἀπὸ δῶ φαίνεται καθαρὰ πὼς ὁ στιχοπλόκος συνθέτει τὴ Μονωδία στὴν Ἰταλία σὲ μιὰν ἐποχὴ, ποὺ ὄχι μονάχα εἶχε ὑποχωρήσει τὸ πνεῦμα τὸ ἀνθενωτικὸ τῶν δύο ἐκκλησιῶν, μὰ ἀντίθετα, μὲ τὴν οἰκονομικὴ ἀνάπτυξη τῶν Ἑλλήνων τῆς Ἰταλίας, εἶχε ἀρχίσει νὰ ροδίζη μιὰν ἐλπίδα πὼς ἡ Δύση θὰ βοηθοῦσε τοὺς Ἕλληνες ν' ἀποτινάξουν τὸν τουρκικὸ ζυγό. Ἰδὲς καὶ τοὺς στίχους 176, 242.

στ. 83-111 Πρόκειται γιὰ τὴν ἅλωση τῆς Θεσσαλονίκης τοῦ 904, πού, ὅπως ξέρουμε, τὴ διηγήθηκε ὁ Καμενιάτης (Πρβ. Theophanes Continuatus, ἔκδ. Βόννης, σελ. 487-600. Migne, PG, 109, 519-653.

στ. 121-122 Ἀναγν., 2, 4 «. . . τῇ περιφανεῖ τὸ πρότερον πόλει Θεσσαλονίκῃ . . .». Πρβ. καὶ 70, 21.

στ. 130 Ὁ συνθέτης ὀνομάζει τὴν πολιτεία «Φιλίππου ἄστυ» ἐπηρεασμένος ἀπὸ τὶς κλασικὲς σπουδές τῆς ἐποχῆς.

στ. 136-138 Ἀναγν., 16, 19-20 «. . . ἔδοξε τῷ Μουράτῃ φιλίας τισὶ τοὺς ἐνοικοῦντας ἡμᾶς τῇ πόλει ρήμασιν ὑπελθεῖν πρότερον . . .»

στ. 138 Ἀναγν., 18, 13-14 «Ὁ δὲ Μουράτης ἀνηνύτοις ἰδὼν ἐπιχειρεῖν ἐν τούτῳ τῷ μέρει . . .». Πρβ. καὶ σ. 24, 9 «ὡς ἤνυε πλέον οὐδέν . . .»

στ. 140-220 Ἀναγν., 28, 28-48, 12

στ. 150 Ἀναγν., 30, 4 «... ὅλοι τοῦ πολεμεῖν γεγενήμεθα ...»

στ. 156 Ἀναγν., 38, 4 «. . . διὰ τῶν ὀργυμάτων, ὧν εἰργάσαντο . . .». Πρβ. καὶ 40, 1 «. . . καὶ τῶν ὀργυμάτων . . .» Χαλκοκονδύλης, (ἔκδ. Darkò, II, 14, 5-6), «. . . ὑπορύσσοντες ἀπὸ τῶν οἰκιῶν ὀρύγματα . . .»

στ. 158 Ἀναγν., 18, 19 «. . . ἅτε μελισσῶν σμήνη . . .» 40, 6 «. . . δίκην μελισσῶν . . .» Δούκας, ἔκδ. Grecu, 251, 2. «ὡς σμῆνος μελισσῶν . . .»

στ. 139 Ἀναγν., 24, 12-13 «. . . τρέπεται τότ' ἐξ ἀνάγκης

ἐπὶ τὸ πολεμεῖν . . .»

στ. 140-145 Ἀναγν., 24, 30-32 «. . . καὶ τῆς τοξικῆς πολλάκις τῆς ἡμέρας, ἀλλὰ δὴ καὶ τῆς νυκτὸς οὐκ ἠμέλουν . . .», 34, 10 «. . . τῇ τῶν βελῶν συνεχείᾳ . . .», 24, 28 «. . . κλίμακάς τε εἰσκομῆσαι . . .», 32, 10 «. . . ταῖς κλίμαξιν ἀνιέναι . . .» κλπ.

στ. 163-164 Ἀναγν., 42, 3-4 «Καὶ συνεχύθη μὲν ἡ πόλις καὶ βοὴ παρὰ πάντων σύμμεικτος ἦρτο καὶ θορύβου πάντων καὶ γόων μεστά».

στ. 166-174 Ἀναγν., 42, 15-18 «Νήπια . . . ὑποτίτθια ἐλεεινῶς κλαυθμηρίζοντα . . .». Πρβ. καὶ τὴ σημείωση στοὺς στίχους 67-83.

στ. 179-180 Ὁ ἀριθμὸς τῶν ἕξ χιλιάδων (6.000) σκοτωμένων εἶναι φανταστικός. Εὐκολώτερα θὰ μποροῦσε νὰ μιλήση γιὰ τοὺς αἰχμαλώτους, μιὰ καὶ τοὺς μοιράστηκαν οἱ Τοῦρκοι, καθὼς λέει ὁ Ἀναγνώστης (52, 19-21), ὅταν μαζεύτηκαν στὸ Βαρδάρι. Ἐξάλλου κι ὁ ἴδιος ὁ Ἀναγνώστης μιλάει βέβαια γιὰ ἑφτὰ χιλιάδες (7.000) αἰχμαλώτους, δὲν τολμάει ὅμως νὰ ὁρίση καὶ τοὺς σκοτωμένους, ὅπως τὸ κάνει ὁ συνθέτης ἐδῶ γιὰ λόγους μετρικούς, ἀλλὰ ὄχι καὶ μὲ ἱστορικὴ εὐθύνη.

στ. 181-182 Ἀναγν., 48, 18-19, 22-23 «. . . ἠνέῳκτό τε καὶ καταβέβλητο μνήματα . . .». Πρβ. καὶ 46, 29-48, 6.

στ. 185-186 Ἀνάγν., 2, 14-15 «. . . τοὺς εἰς ἄκρον δυνάμεως λόγων ἐληλακότας . . .»

στ. 210-211 Ὁ στίχος εἶναι ὁμηρικός «. . . ἑλώρια τεῦχε κύνεσσιν οἰωνοῖσί τε πᾶσι . . .» (Ἰλ. Α, 4-5), ἀλλ' ὁ Ἀναγνώστης τὸν διασκευάζει κάπως σὲ «. . . ἑλώρια δὲ κειμένους» κλπ. 40, 23-24

στ. 216-220 Ἀναγν., 46, 29-48, 6. Πρβ. καὶ τὴ σημείωση στοὺς στ. 181-182

στ. 221-222 Ἀναγν., 70, 2 «. . . ἀξίως πόλιν ὠδύρετο . . .». Πρβ. καὶ τὴ σημείωση στοὺς στ. 4-5.

στ. 223-224 Ἀναγν., 70, 4 «. . . αὐτὴν λαμπρὰν καὶ ποθεινὴν δεικνῦσα . . .», 72, 18-19 «Θέατρον γὰρ πρότερον αὔδαιμον ἦς . . .» Γιὰ τὶς ὀμορφιὲς καὶ τὰ μνημεῖα τῆς Θεσσαλονίκης ἰδὲς γενικὰ ὁλάκερη τὴ Μονωδία, (Ἀναγν., 70-76).

στ. 227-229 Ἀναγν., 74, 34-76, 1 «. . . οἴχονται θείων ἐκτυπω-

	μάτων λαμπρότητες . . .». Πρβ. καὶ 48, 6-12.
στ. 231-232	Ἀναγν., 74, 21-23 «Ὅπῃ . . . θείων λογίων ᾔδετο μέλη καὶ συνᾴδοντες ἦσαν ἄνωθεν νόες . . .»
στ. 233-234	Ἀναγν., 64, 26-27 «. . . ἀφορμὴ τοῖς ὁρῶσιν ἵσταν-ται πένθους . . .», 72, 19-21 «. . . νυνὶ δὲ θέα πᾶσι γέγονας ἀπευκταία . . . ὁρᾶν σὲ μὴ φέροντας . . .»
στ. 256-260	Ἀναγν., 70, 14-19 «Ὦ, πῶς μαγνήτιδος τρόπον εἰς ἑαυτὴν ἅπαντας εἵλκεν, ἀποστῆναί τε τούτους οὐδ' ὁπωστιοῦν συνεχώρει. Τοσούτῳ καὶ γὰρ κατεῖχεν, οἷς αὐτοὺς πανταχόθεν ἀφικνουμένους ἐδεξιοῦτο, δεσμοῖς τ' ἀλύτοις φιλίας συνέδει, ὡς ἀντὶ τῆς ἐνεγκαμένης αὐτὴν πάντας αἱρεῖσθαι καὶ μηδ' ἐπανόδου μεμνῆσθαι μηκέτι».
στ. 260	Ἡ Βενετοκρατία κράτησε στὴ Θεσσαλονίκη, ὅπως ξέρουμε, ἑφτὰ χρόνια, ἀπ' τὶς 14 τοῦ Σταυροῦ 1423 ὡς τὶς 29 τοῦ Μάρτη τοῦ 1430, ποὺ τὴν πῆραν οἱ Τοῦρκοι. (Βλ. Κ. Μ έ ρ τ ζ ι ο υ, Μνημεῖα Μακεδονικῆς ἱστορίας, Θεσσαλονίκη 1947, σ .43-44)
στ. 273-275	Δημοσθένης, 12, 6.
στ. 280 καὶ 284-287	Ἀναγν., 70, 9-11 «Πολλὰς μὲν γὰρ κάλλει καὶ θέσει, πολλὰς δὲ μεγέθει καὶ τῇ τῶν καλῶν ἀφθονίᾳ μηδ' ὅσον εἰπεῖν ὑπερέβαλε πόλεις». Πρβ. καὶ 72, 2-4
στ. 301-305	Ἀναγν., 48, 28-29 «. . . τῆς ἀφθονίας τῶν μύρων καὶ τῆς ἐκ τούτων ἰάσεως . . .», 48, 32-50 1 «. . . τῶν μύρων ἔσπευδον αὐτὴν ἐκκενῶσαι καὶ τὸ ἱερὸν καὶ θεῖον λείψανον τοῦ μάρτυρος . . .»

ΓΙΑΝΝΗΣ ΤΣΑΡΑΣ

RÉSUMÉ

Jean Tsaras, Deux monodies sur la prise de Salonique en 1430.

Ces deux monodies en vers sur la dernière prise de Salonique en 1430 sont des textes littéraires et se lient intimement l'une à l'autre. La deuxième suit la première quant elle s'agit de son cadre général; mais elle utilise aussi le Chronique de Ioannis Anagnostis pour tous les éléments historiques. Étant donné que la première n'a aucun rapport à la dernière prise de Salonique et la deuxième n'offre aucun élément nouvel historique, on ne peut pas les comprendre parmis les sources historiques sur la dernière prise de Salonique en 1430.